σπεύσομεν. Περὶ μέντοι τοῦ παρὰ τοῦ Σωτῆρος λεχθέντος «ἐκ τοῦ ἐμοῦ λήψεται καὶ ἀναγγελεῖ ὑμῖν», οὕτω δεῖ νοεῖν. Ἐπειδὴ γὰρ προλαβὼν πολλὰ καὶ μεγάλα περὶ τοῦ Πνεύματος διελέχθη τοῖς μαθηταῖς, ὅτι τε ἐλέγξει τὸν κόσμον περὶ ἁμαρτίας καὶ ὅτι ἐκεῖνο αὐτοὺς ὁδηγήσει εἰς πᾶσαν τὴν ἀλήθειαν καὶ ἕτερα τοιαῦτα, ἵνα μὴ νομίσωσι μεῖζον εἶναι τὸ Πνεῦμα τοῦ Υἱοῦ, ὡς μὴ αὐτοῦ τοιαῦτα δυναμένου, ἀλλ' ἐπαγγέλλε- f 227r σθαι τὸ Πνεῦμα ταῦτα ποιεῖν, φησὶν «ἐκ τοῦ ἐμοῦ λήψεται», ‖ ἤτοι ἐκ τῆς ἐμῆς γνώσεως, ἐκ τῆς ἐμῆς διδασκαλίας. Πάντα, φησίν, ἃ ὑμῖν ἀναγγελεῖ, ἐμά ἐστιν· οὐδὲν ἐναντίον καὶ περιττὸν τῆς ἐμῆς γνώμης· κοινὴ γὰρ ἥ τε γνῶσις καὶ βουλὴ τῶν τριῶν προσώπων.+ Καθ' ὃν τρόπον εἴρηκε καὶ τὸ «πάντα ὅσα ἔχει ὁ Πατὴρ ἐμά ἐστιν»· οὐχ ὅτι ὁ Πατὴρ λαμβάνει τι ὡς ἐξ αἰτίου τοῦ Υἱοῦ, ἢ ὡς ὅτι καὶ ὁ Υἱὸς γεννᾷ καὶ ἐκπορεύει, καθ' ἃ δὴ καὶ ὁ Πατήρ, ἀλλ' ὅτι κοινὰ ἐστι τούτῳ κἀκείνῳ τὰ τῆς θείας φύσεως ἰδιώματα. Οὐδὲ γὰρ εἶπεν, ἐξ ἐμοῦ ληφθήσεται, ὅπερ δηλοῖ ἴσως τὴν ἐξ αὐτοῦ ὕπαρξιν τοῦ Ἁγίου Πνεύματος, ἀλλ' ἐκ τοῦ ἐμοῦ λήψεται. Τί δὲ τὸ ληφθέν, ἐκ τοῦ ἑξῆς ἐπαγομένου δῆλον· φησὶ γὰρ «καὶ ἀναγγελεῖ ὑμῖν»· ὅπερ δὲ ἔλαβε, τοῦτο ἀνήγγειλεν, ὅπερ ἐστὶν ἡ ἀγγελία. Περὶ δὲ τοῦ ἐμφυσήματος οὕτω σκεπτέον. Ἐπείπερ τὸ Πνεῦμα τὸ Ἅγιον συμπαρομαρτεῖ ἀεὶ τῷ Υἱῷ συνὸν αὐτῷ κατ' οὐσίαν, τούτου χάριν ἐμφυσᾷ τοῖς μαθηταῖς, διδοὺς αὐτοῖς τῇ τούτου συνεργίᾳ χάριν τοῦ δεσμεῖν τε καὶ λύειν τὰ τοῖς ἀνθρώποις ἡμαρτημένα. Ἀλλ' οὐδὲ γὰρ ὁ καιρὸς παρῆν τότε τῆς Πεντηκοστῆς, καθ' ἣν αὐτοῖς τὸ Πνεῦμα ἐπεδήμησε, τοῦ Χριστοῦ εἰπόντος, ὅτι «ἐὰν ἐγὼ μὴ ἀπέλθω, ὁ Παράκλητος οὐκ ἐλεύσεται πρὸς ὑμᾶς». Διά τοι τοῦτο οὐδὲ εἶπε, λάβετε τὸ Πνεῦμα τὸ Ἅγιον, ἀλλὰ χωρὶς ‖ τοῦ ἄρ- f 227v θρου «λάβετε Πνεῦμα Ἅγιον», ὡς μέρος τῶν αὐτοῦ δωρεῶν παρέχων αὐτοῖς οὐχ ὁλόκληρον. Πολλαὶ γάρ εἰσιν αἱ τούτου δωρεαί, ὡς ἐκ τῶν τοῦ Ἡσαΐου ἔνεστι συμβαλεῖν· φησὶ γὰρ αὐτός. «Καὶ ἐπαναπαύσεται ἐπ' αὐτόν», ἤτοι τὸν ἐκ τῆς ῥίζης Ἰεσσαὶ καταγόμενον Χριστόν, «πνεῦμα τοῦ Θεοῦ»· εἶτα ἐπάγει «πνεῦμα σοφίας καὶ συνέσεως, πνεῦμα βουλῆς καὶ ἰσχύος, πνεῦμα γνώσεως καὶ εὐσεβείας, πνεῦμα φόβου Θεοῦ ἐμπλήσει αὐτόν». Ὅτι δὲ καὶ Πνεῦμα ὁμωνύμως ἐσθ' ὅπῃ ἡ τούτου δωρεὰ καὶ ἐνέργεια κέκληται, ἄκουσον Ἐλισσαίου λέγοντος πρὸς Ἠλίαν. «Γενηθήτω δὴ τὸ πνεῦμα τὸ ἐπὶ σοὶ δισσῶς ἐπ' ἐμέ». Οὐ γὰρ εἶπε τὸ πνεῦμα τοῦ Θεοῦ ἢ τὸ πνεῦμα ἁπλῶς, ἀλλὰ προσέθηκε τὸ ἐπὶ σέ, ἤτοι ἡ χάρις ἡ ἐνοικοῦσα σοι ἐλθέτω διπλῆ ἐπ' ἐμέ, ἤτουν διπλασια-

8) Ἐν τῇ ᾤᾳ Β : ὑπὲρ πᾶσαν γνῶσιν καὶ βουλὴν δεῖ νοεῖν   23) Ἰωάν. 16,7
28) Ἡσ. 9, 2.

3) διηλέχθη Β.Ν   5) νομήσωσι Β.Ν

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

σθήτω. Ἐγὼ δέ, ἐν ὅσῳ εἰμὶ σωφρονῶν, οὐκ ἄν ποτε νοησαίμην Πνεῦμα Θεοῦ τὸν δι᾿ ἀνθρωπείου στόματος μεταλαμβανόμενον καὶ ἀναχεόμενον ἀέρα, εἰ μή, ὡς εἶπον, ὅτι συνήργει τῷ Χριστῷ τὸ Ἅγιον Πνεῦμα ἐν πάσαις ταῖς δωρεαῖς καὶ τερατουργίαις, ὡς κἀν ταῖς ἐξ ἀνθρώπων ἐξωθήσεσι τῶν δαιμόνων. Εἴθιστο δὲ ὁ Ἰησοῦς διά τινων αἰσθητῶν συμβόλων καὶ ἐπαφῶν ἐπιτελεῖν τὰ παράδοξα· διὸ οὐδὲ εἶπεν, ἐλάβετε Πνεῦμα Ἅγιον, ἀλλὰ λάβετε. Τὸ δὲ παρὰ τῷ Ἀποστόλῳ εἰρημένον, ὅτι «ἐξαπέστειλεν ὁ Θεὸς τὸ Πνεῦμα τοῦ Υἱοῦ αὐτοῦ» οὕτω δεῖ νοεῖν· ἐπεὶ || προλαβὼν ἔφη ὁ Ἀπόστολος ὅτι ἐξαπέστειλεν ὁ Θεὸς f 228r τὸν Υἱὸν αὐτοῦ γενόμενον ἐκ γυναικός, ἵνα ἡμᾶς θέσει υἱοὺς Θεοῦ ποιήσῃ, τούτου χάριν φησίν, ὅτι οὐδὲ ἕτερον πνεῦμα ἐξαπέστειλεν ἐν ἡμῖν, ἀλλ᾿ ἢ τὸ πνεῦμα, ὅπερ ἐν τῷ κατὰ φύσιν Υἱῷ κατῴκει. Καὶ τοῦτο βούλεται τὸ εἰπεῖν Πνεῦμα Υἱοῦ. Οὐ πᾶν δὲ ὅ τινος λέγεται, καὶ ἐξ ἐκείνου πάντως τὸ εἶναι κέκτηται, ἐπεὶ κατὰ τοῦτο καὶ τὸ Πνεῦμα τὸ Ἅγιον ἐκπόρευμα εἴποι τις ἂν σοφίας φημὶ καὶ βουλῆς, καὶ τῶν λοιπῶν αὐτοῦ δωρεῶν, ὥστε μὴ τὸ Πνεῦμα εἶναι ῥίζαν δὴ καὶ αἰτίαν τῶν αὐτοῦ χαρισμάτων, ἀλλ᾿ αὐτὰ τοῦ Πνεύματος. Ἰδοὺ καὶ τὰ πρός τι πάντα ἀλλήλων ὑπάρχειν φαμέν, ὡς τὸ ὁ δοῦλος ἢ ὁ δεσπότης ὅδε τοῦ δεῖνος καὶ ὁ οἶκος ἢ ὁ κύριος ὅδε τοῦ δεῖνος καὶ ἡ ψυχὴ τοῦ δεῖνος καὶ ὁ Θεὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, ἃ οὐκ ἐξ αὐτῶν, ὧνπερ εἶναι, λέγεται, κέκτηται τὴν ὕπαρξιν. Εἴπερ δὲ καί τινες ἐπιστολαὶ τῶν ἁγίων Πατέρων εὑρίσκοιντο καὶ ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα λέγουσαι, οὐδὲν θαυμαστόν. Πολλαὶ γὰρ αὐτῶν βίβλοι ἐνοθεύθησαν ὑπὸ τῶν κακοδόξων, ὅσαι ἐν ἑνὶ τόπῳ ἐδόθησαν. Εἰ δὲ καὶ οὗτοι καὶ ἐκ τοῦ Υἱοῦ δι᾿ αὐτῶν εἶπον, οὐδὲ οὕτω χρὴ τούτοις ἐν τούτῳ ἕπεσθαι, δυσὶν οὖσιν ἢ καὶ τρισίν. || Ἴσως γὰρ ἔκ τινος ἀνάγκης οἰκονομικῶς f 228v εἶπον ἢ τῆς ἀληθείας καὶ οὗτοι, ὡς ἄνθρωποι, ποτὲ ἐξωλίσθησαν. Καὶ ἔξεστι τοῦτο συμβαλεῖν ἐξ ἑτέρων αὐτοῖς συγγραμμάτων, ἐκ τοῦ Πατρὸς μόνον λεγόντων τὸ Πνεῦμα. Διὸ δεῖ μᾶλλον τοῖς πλείοσιν ἕπεσθαι τῶν θείων Πατέρων καὶ ταῖς ἁγίαις καὶ οἰκουμενικαῖς Συνόδοις καὶ μᾶλλον τῇ θεοπνεύστῳ Γραφῇ. Ἐπεὶ καὶ κατὰ τὴν φυσικὴν ἀκολουθίαν, μονάδα εἶναι δυάδος ἀρχήν, οὐ δυάδα μονάδος διδασκόμεθα. Καὶ ταῦτα μὲν οὕτως ἔχει. Ὥσπερ δὲ ἐκ τοῦ Ἀδὰμ ἐκπεπόρευται ἡ

[25]) ἐν τῇ κάτω ᾤᾳ: ἰστέον ὅτι λέγεται νῦν παρὰ Λατίνοις τυπωθῆναι τὸ ἅγιον Σύμβολον ἐξηγημένον δῆθεν παρὰ τοῦ Χρυσοστόμου συνηγοροῦντος αὐτοῖς ἐπὶ τῇ προσθήκῃ· ὅπερ οὐκ ἠκούσθη ποτέ, οὔτε παρὰ Λατίνοις, οὔτε παρὰ Ῥωμαίους, οὐθ᾿ ὅτε καὶ Λατινόφροσιν· ὅθεν δῆλον, ὅτι καὶ τοῦτο οὐκ ὂν πέπλασται παρ᾿ αὐτῶν, ὡς καὶ ἕτερα. [33]) ἐν τῇ ᾤᾳ: κατὰ Ἑλλήνων, Ἰουδαίων καὶ Ἀρειανῶν.

Εὔα καὶ ὁ Σὴθ ἐξ αὐτοῦ ἐγεννήθη καὶ οὐ διαφοράν τινα φύσεως ἐπεισάγει ἐν αὐτοῖς τὸ ἀγέννητον καὶ γεννητὸν καὶ ἐκπορευτόν, οὕτω καὶ ἐκ τοῦ Πατρὸς ὁ Υἱὸς ἐγεννήθη καὶ τὸ Πνεῦμα ἐκπεπόρευεται, διαφοράν τινα φυσικὴν μὴ συνεισαγούσης τῆς ἑτερότητος τῶν ὑπάρξεων.

Ἀκόλουθον δέ ἐστι λοιπὸν καὶ περὶ φύσεως καὶ προσώπων ὀλίγα διαλαβεῖν καὶ οὕτω || καταπαῦσαι τὸν λόγον. Φύσις μὲν οὖν ἐστι τὸ καθολικὸν πρᾶγμα καὶ περιεκτικὸν τῶν ὑπ' αὐτὴν ὑποστάσεων· ἢ φύσις ἐστὶν ἀληθὴς πραγμάτων ὕπαρξις. Ὑπόστασις δέ ἐστιν οὐσία μετά τινων ἰδιωμάτων, τῷ ἀριθμῷ τῶν ὁμοειδῶν διαφέρουσα. Φύσις δὲ καὶ οὐσία καὶ γένος καὶ μορφὴ ἓν καὶ τὸ αὐτό εἰσι κατὰ τοὺς ἐκκλησιαστικοὺς θεσμούς. Καὶ τοῦτο δῆλον ἐκ τῆς θείας Γραφῆς λεγούσης. «Καὶ ἐποίησεν ὁ Θεὸς τὰ θηρία τῆς γῆς κατὰ γένος αὐτῶν καὶ τὰ κτήνη κατὰ γένος καὶ πάντα τὰ ἑρπετὰ τῆς γῆς κατὰ γένος αὐτῶν». Καὶ ἀπ' αὐτοῦ τοῦ Χριστοῦ λέγοντος. «Τοῦτο τὸ γένος οὐκ ἐξέρχεται, εἰ μὴ ἐν προσευχῇ καὶ νηστείᾳ». Καὶ ἐκ τῆς Ἰακώβου ἐπιστολῆς, οὑτωσὶ διαλαμβανούσης. «Πᾶσα φύσις θηρίων τε καὶ πετεινῶν, ἑρπετῶν τε καὶ ἐναλίων δαμάζεται καὶ δεδάμασται τῇ ἀνθρωπίνῃ φύσει». Ὅπερ γὰρ γένος καλεῖ Μωϋσῆς, τοῦτο ὁ Ἀπόστολος φύσιν. || Ὅτι δὲ καὶ μορφὴ ταὐτόν, δῆλον ἐκ τῆς ἐπιστολῆς αὖθις Παύλου, οὑτωσὶ λεγούσης περὶ Χριστοῦ. «Ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβών, ἐν ὁμοιώματι ἀνθρώπου γενόμενος». Περὶ δὲ προσώπων, ἄκουσον αὖθις Δαυὶδ λέγοντος. «Ἐξεζήτησα τὸ πρόσωπόν σου· τὸ πρόσωπόν σου Κύριε ζητήσω». Ἑτέρωθι δὲ ὑπόστασιν αὐτὸ καλεῖ· «οὐκ ἐκρύβη, γάρ φησι, τὸ ὀστοῦν μου ἀπὸ σοῦ, ὃ ἐποίησας ἐν κρυφῇ, καὶ ἡ ὑπόστασίς μου ἐν τοῖς κατωτάτοις τῆς γῆς». Καὶ πάλιν· «ἡ ὑπόστασίς μου ὡσεὶ οὐθὲν ἐνώπιόν σου», ἀντὶ τοῦ ἐγὼ αὐτός. Σημαίνει δὲ ὑπόστασις καὶ τὴν ἁπλῶς ὕπαρξιν, ἀλλ' ὡς ἐπὶ τὸ πλεῖστον κεχωρισμένον τι δηλοῖ παρὰ τῇ θείᾳ Γραφῇ ἡ ὑπόστασις. Πρόσωπα δὲ λέγομεν ἐπὶ Θεοῦ ἀσώματα καὶ ἀπερίγραπτα καὶ ἀσχημάτιστα, ὡς καὶ προείρηται. Εἰ γὰρ καὶ χεῖρας ἐπὶ Θεοῦ ὀνομάζει ἡ θεία Γραφὴ καὶ πόδας καὶ ὅσα τοιαῦτα, ἀλλὰ καταχρηστικῶς διὰ τὴν ἀνθρωπίνην τῶν ἀκουόντων ἀσθένειαν, || ἢ κατὰ θειοτέραν τινὰ καὶ ὑψηλοτέραν ἔννοιαν ταῦθ' οὕτως σχηματίζει ἡ Γραφή· ὥσπερ καὶ ἐν οὐρανῷ λέγεται κατοικεῖν καὶ ἐν ἱεροῖς οἴκοις καὶ ἐν ἀνθρώποις φοβουμένοις αὐτόν. «Ἐνοικήσω, γάρ φησι,

⁴) ἐν τῇ ᾠᾳ : περὶ φύσεως καὶ προσώπων. ¹³) Γεν. 1,25. ¹⁴) Ματθ. 17,21. ¹⁶) Ἰακ. 3,7 ²⁰) Φιλ. 2 6—7 ²³) Ψαλμ. 26, 8 ²⁴) Ψαλμ. 138, 15 ²⁹) ἐν τῇ ᾠᾳ: κατὰ Ἀγαρηνῶν καὶ Βογομίλων ³⁵) Λευϊτ. 26, 12.

αὐτοῖς καὶ ἐμπεριπατήσω», οὐχ ὡς τῆς θείας φύσεως περιοριζομένης ἢ εἰς πολλὰ μεριζομένης, ἀλλ' ὡς τῶν θείων ἐνεργειῶν καὶ δωρεῶν καὶ ἐντολῶν πληρουμένων, ἐν οἷς λέγεται ἐνοικεῖν. Ὅτι δὲ τὰ πάντα πληροῖ τὸ θεῖον, ἄκουσον τοῦ Δαυὶδ λέγοντος. «Ποῦ πορευθῶ ἀπὸ τοῦ Πνεύματός σου καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω; ἐὰν ἀναβῶ εἰς τὸν οὐρανόν, σὺ ἐκεῖ εἶ· ἐὰν καταβῶ εἰς τὸν ᾅδην πάρει· ἐὰν ἀναλάβοιμι τὰς πτέρυγάς μου, δῆλον ὅτι τοὺς νοεροὺς ὀφθαλμούς, κατ' ὄρθρον, ἤτοι κατὰ ἀνατολάς, καὶ κατασκηνώσω εἰς τὰ ἔσχατα τῆς θαλάσσης, ἤγουν δύσεως, καὶ γὰρ ἐκεῖ ἡ χείρ σου ὁδηγήσει με καὶ καθέξει με ἡ δεξιά σου». Ὅτι δὲ καὶ ἀπεριόριστος, ἐξ ὧν ἀπέστειλε Σολομὼν Χειρὰμ τῷ βασιλεῖ Τυρίων δῆλον· φησὶ γὰρ ὅτι «Κύριος ὁ Θεὸς ἡμῶν παρὰ πάντας τοὺς Θεούς· καὶ τὶς ἰσχύσει αὐτῷ οἰκοδομῆσαι οἶκον; || ὅτι ὁ οὐρανὸς καὶ ὁ οὐρανὸς τοῦ οὐρανοῦ οὐ φέρουσιν αὐ- f 230v
τοῦ τὴν δόξαν· καὶ τίς ἐγὼ οἰκοδομῶν αὐτῷ οἶκον; ὅτι ἀλλ' ἢ τοῦ θυμιᾶν κατέναντι αὐτοῦ»· ὥσπερ δῆτα καὶ εὐχόμενος ἔλεγεν. «Εἰ ὁ οὐρανὸς καὶ ὁ οὐρανὸς τοῦ οὐρανοῦ οὐκ ἀρκέσουσί σοι, πῶς ὁ οἶκος οὗτος ὃν ᾠκοδόμησα τῷ ὀνόματί σου;» Περὶ τούτων καὶ Στέφανος ὁ πρωτομάρτυς καὶ ἀρχιδιάκονος ἀπολογούμενός φησι. «Σολομὼν δὲ ᾠκοδόμησεν αὐτῷ οἶκον· ἀλλ' οὐχ ὁ ὕψιστος ἐν χειροποιήτοις ναοῖς κατοικεῖ καθὼς ὁ προφήτης λέγει· ὁ οὐρανός μοι θρόνος, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου» καὶ τὰ ἑξῆς. Σκόπει τοίνυν νουνεχῶς, πῶς καὶ οἶκον τῷ Θεῷ ἐπιγράφουσιν οἱ θεολόγοι καὶ πῶς πανταχῇ καὶ ἐπέκεινα τοῦ παντὸς εἶναι αὐτὸν ὁρίζονται. Ὥστε πολλά εἰσι τὰ περὶ Θεοῦ συγκαταβατικῶς καὶ ὑπὲρ τὴν ἡμετέραν γνῶσιν παρ' αὐτῶν λαλούμενα.

---

4) Ψαλ. 138, 7 11) Β΄ Παραλ. 2,6 15) Γ΄ Βασιλ. 8,27 16) ἐν τῇ φθ B : ἤτοι τὸ στερέωμα καὶ ὁ ὑπεράνω οὐρανός. 18) Πράξ. 7, 47—49. Ἡσ. 66, 1.

# ΛΟΓΟΣ ΔΕΥΤΕΡΟΣ

## Περὶ τῆς θείας δημιουργίας καὶ τῆς τῶν πρωτοπλάστων παραβάσεως καὶ περὶ εἰκόνος.

f 231r Ὁ Θεὸς τοίνυν σοφὸς καὶ ὑπεράγαθος ὢν καὶ μηδὲν ἔχων ἀντιτασσόμενον τῷ αὐτοῦ πανσθενεῖ νεύματι, πρῶτον μὲν τὸν οὐρανὸν καὶ τὴν γῆν ἐποίησε, περιεκτικὰ ὄντα τῶν λοιπῶν κτισμάτων, οὐκ ἔκ τινος προϋποκειμένης ὕλης. Ἐπεὶ τί κατὰ τοῦτο διέφερεν ἂν ἡμῶν ; Καὶ γὰρ καὶ ἡμεῖς ἐξ ὄντων δημιουργοῦμεν οἰκίας καὶ πλοῖα καὶ διάφορα εἴδη σκευῶν. Ἀλλ᾽ ἐξ οὐκ ὄντων παρήγαγε μόνον ἐπινεύσας. Ἐποίησε δὲ οὐ τὸν μὲν πρῶτον, τὴν δὲ μετὰ ταῦτα, ὥς τινες ὑπέλαβον, ἀλλ᾽ ἅμα. Τοῦτο γὰρ ὁ «καὶ» σύνδεσμος ἐννοεῖν δίδωσιν· ἐπεί, εἰ μὴ οὕτως, εἶχεν ἂν εἰπεῖν ὁ συγγραφεύς, ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν εἶτα τὴν γῆν, καὶ τὸ εἶτα, ἐπίρρημα ὑστερότητα δηλοῦν, ἀντὶ τοῦ καὶ συνδέσμου παρειλήφει. Εἰ δὲ καί τινες τῶν Πατέρων ἐκ τῆς τάξεως τῶν λέξεων ἰσχυρίζονται πρῶτον παραχθῆναι τὸν οὐρανόν, ἀλλὰ δεῖ σκοπεῖν, ὅτι
f 231v τοῖς τὸ αὐτόματον δοξάζουσιν ἐναντιούμενοι || οὕτω φάσκουσιν. Ἀλλ᾽ ὅτι οὐδὲ πάντα τὰ πρώτως γραφόμενα καὶ τὴν εἰς τὸ εἶναι πρώτως ἔσχον πρόοδον, καὶ ἐξ ἑτέρου ῥητοῦ τῆς αὐτῆς βίβλου τῆς Γενέσεως δῆλον. «Ἐγέννησε, γάρ φησι, Νῶε τρεῖς υἱοὺς τὸν Σήμ, τὸν Χάμ, τὸν Ἰάφεθ». Ἐνταῦθα μεσάζοντα τῇ γραφῇ τέθεικεν ὁ προφήτης τὸν Χάμ, ὅνπερ υἱὸν ἔσχατον τῇ ἡλικίᾳ ἀπέφηνε μετὰ τὴν εἰς τὸν πατέρα αὐθάδειαν καὶ προπέτειαν. Φησὶ γάρ· «ἐξένηψε δὲ Νῶε ἐκ τοῦ οἴνου, καὶ ἔγνω ὅσα ἐποίησεν ὁ υἱὸς αὐτοῦ ὁ νεώτερος». Καὶ ὥσπερ ἐπὶ τῶν διῃρημένως γραφομένων συμβαίνει πολλάκις μὴ εἶναι πρότερον τὸν πρώτως γραφόμενον, οὕτω καὶ ἐπὶ τῶν ἅμα, μὴ ἅμα γενηθῆναι. Ὅπερ ἐπὶ τῶν δύο φωστήρων ἐστὶν ἰδεῖν· καὶ γὰρ γέγραπται, «καὶ ἐποίησεν ὁ Θεὸς τοὺς δύο φωστῆρας»· τὸ ἐποίησεν ἐνταῦθα ὁμοίως ἐπὶ τῶν δύο κεῖται· εἶτα «τὸν φωστῆρα, φησί, τὸν μέγαν, ἤτοι τὸν ἥλιον, εἰς ἀρχὰς τῆς ἡμέρας, ἤγουν ἀρχομένης ἡμέρας· τὸν δὲ φωστῆρα τὸν ἐλάσσω, ἤτοι τὴν σελήνην, εἰς ἀρχὰς τῆς νυκτός», ἤγουν μὲ τὴν ἑσπέ-

¹) Κῶδ. Βερ. 214 (Phil. 1617) f. 231r—245v ⁶) ἐν τῇ ᾤᾳ : κατὰ Ἑλλήνων καὶ Μανιχαίων. ¹⁰) ἐν τῇ ᾤᾳ : κατὰ Βογομίλων, φληναφούντων κοινωνῆσαι τῷ Θεῷ τὸν Σατανᾶν κατὰ τὴν κοσμοποιίαν. ¹⁹) Γεν. 6,32 ²²) αὐτ. 9,24 ²⁶) αὐτ. 1,16.

Ε.Υ.Δ.Σ.Κ. τ.ΙΙ ΙΩΑΝΝΙΝΑ 2006

ραν. || Ὥσπερ γὰρ καὶ νῦν συμβαίνει πεντεκαιδεκαταίαν οὖσαν τὴν σε- f 232r λήνην ἐκ διαμέτρου ἵστασθαι τῷ ἡλίῳ, ὥστε τὸν ἥλιον ὄντα ἐν τῇ δύσει, αὐτὴν ὑπάρχειν ἐν τῇ ἀνατολῇ, οὕτω καὶ τότε ὁλόφωτον κατ' ἀρχὰς αὐτὴν ἀποδείξας ὁ Κύριος ἔλαχε μετὰ τὴν τοῦ ἡλίου δύσιν αὐτὴν ὀφθῆναι, τότε πάντως ὅτε καὶ ἐποίησεν αὐτήν. Εἰ γὰρ καὶ γέγραπται, ὅτι εἶπεν ὁ Θεὸς «γενηθήτωσαν φωστῆρες», ἀλλ' οὐ παρὰ τοῦτο ἀνάγκη πάντως καὶ ἅμα γενηθῆναι. Τὸ γὰρ «γενηθήτωσαν» τὸ θεῖον βούλημα καὶ πρόσταγμα μόνον ἡμῖν παριστᾷ. Τὸ δὲ εἰπεῖν τὸν Δαυὶδ τὸν ἥλιον εἰς ἐξουσίαν τῆς ἡμέρας, τοῦτό ἐστιν ὅ φησι Μωϋσῆς εἰς τὸ ἄρχειν τῆς ἡμέρας καὶ τὰ ἑξῆς. Λέγομεν δ' ὅμως τὸν ἥλιον καὶ τὴν σελήνην τῇ αὐτῇ ἡμέρᾳ γεγονέναι, διὰ τὸ τὸν προφήτην τὴν παρελθοῦσαν ἡμέραν καὶ τὴν ἐπιοῦσαν νύκτα μίαν ἡμέραν καλεῖν. «Καὶ ἐγένετο, γάρ φησιν, ἑσπέρα καὶ ἐγένετο πρωῒ ἡμέρα τετάρτη». Δέδεικται οὖν ἐντεῦθεν σαφῶς, ὅτι ὅ τε οὐρανὸς καὶ ἡ γῆ ἀκαρῆ θείῳ νεύματι παρήχθησαν ἅμα· || οὐδὲν γὰρ παρὰ Θεῷ ἀδύνατον. Ἀνάγκη δὲ πάντως θάτερον τῶν ὀνομάτων προτεθῆναι ἔν τε τῇ γραφῇ καὶ τῷ f 232v λόγῳ. Ἐπὶ μὲν γὰρ τῶν φωστήρων, ἅτε ὁμωνύμων ὄντων, ἅμα ἐτάχθησαν, ἐπὶ δὲ τοῦ οὐρανοῦ καὶ τῆς γῆς τοῦτο ἀδύνατον, τοῦ αὐτοῦ ὀνόματος μὴ μετασχόντων. Ἔστι δὲ καὶ τοῦτο σύνηθες παρά τε τῇ Γραφῇ παρά τε ἡμῖν, τὸ πάντοτε ὡς ἐπὶ τὸ πλεῖστον τὰ ἐπισημότερα τῶν ὀνομάτων προτιθέναι ἔν τε τῇ γραφῇ καὶ τῷ λόγῳ, ὅπερ καὶ ἐνταῦθα τετήρηται τῷ συγγραφεῖ.

Ἀλλ' ἐνταῦθα γενόμενοι ἑτέρα ἀπορία συνεισήχθη ἡμῖν τῇ προτέρᾳ παραπλήσιος. Ζητητέον οὖν πῶς ὁ Δαυὶδ τὸ κατ' ἀρχὰς ἐπὶ τῆς γῆς προσέθηκεν, ἐπὶ δὲ τοῦ οὐρανοῦ οὐδαμῶς, ἢ πῶς οὐκ ἔλεξε, κατ' ἀρχὰς σὺ Κύριε τὴν γῆν καὶ τὸν οὐρανὸν ἐθεμελίωσας, ἀλλὰ διεῖλε τὴν ἔννοιαν εἰπών, «κατ' ἀρχὰς σὺ Κύριε τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σου εἰσὶν οἱ οὐρανοί». Καὶ περὶ τούτου φημί, ἐπεὶ ἔμελλεν ὁ προφήτης μακρότερον ποιῆσαι τὸν περὶ οὐρανοῦ λόγον, || πῶς f 233r τε ἀπολοῦνται ἅμα καὶ ἀλλαγήσονται καὶ τῶν καθ' ἑξῆς, τούτου χάριν οὐχ ἥνωσε τῷ λόγῳ τὸν οὐρανὸν τῇ γῇ καθ' ἕνα μὲν οὖν τρόπον καθάπερ δὲ καὶ οἰκειότερον. Ἐπείπερ οὐ μόνον τοῦ πρώτου οὐρανοῦ ἐμνημόνευσεν, ἐν τῷ εἰπεῖν «καὶ ἔργα τῶν χειρῶν σου εἰσὶν οἱ οὐρανοί», ἀλλὰ καὶ τοῦ δευτέρου, ἤτοι τοῦ στερεώματος τῇ δευτέρᾳ ἡμέρᾳ γεγονότος. Διὰ τοῦτο οὐδὲ τὸ κατ' ἀρχὰς ἐπὶ τοὺς οὐρανοὺς τέθεικε

**21) Ἐν τῇ κάτω ᾤᾳ: δῆλον ὅτι ταὐτὸν ἐστι τὸ «ἐν ἀρχῇ» τῷ «κατ' ἀρχάς», ὡς καὶ τῷ ποιητῇ δοκεῖ ἐν τῷ λέγειν «ὁ ἐν ἀρχῇ τὴν γῆν θεμελιώσας» 22) Ψαλμ. 101,25.**

κατὰ τὸν αὐτὸν λόγον, καὶ ἵνα μὴ δύο ἀρχὰς εἰσάγῃ, ὅπερ ἀδύνατον· ἢ ληπτέον ἐνταῦθα τὸ ἐθεμελίωσας, ἀντὶ τοῦ εἰς θεμέλιον τέθεικας, ὅπερ οὐχ ἁρμόζει τῷ οὐρανῷ, ὀρόφῳ ὄντι.·Ἐπεὶ οὖν ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, σκότος δὲ ἦν ἐπιπολάζον τῇ ἀβύσσῳ ἀνύπαρκτόν τε καὶ ἀνούσιον, τῇ ἀπουσίᾳ δὲ τοῦ φωτὸς συνιστάμενον, τῷ θείῳ προστάγματι καὶ τὸ φῶς παρήχθη ἐκ τοῦ μὴ ὄντος, οὐχ ἱκανοῦ καιροῦ παραδραμόντος μετὰ τὴν τοῦ οὐρανοῦ καὶ τῆς γῆς ποίησιν. Τοῦτο
f 233v οὖν τὸ φῶς ἦν τὸ πρὸ τοῦ γενέσθαι τὸν ἥλιον, || ἀπαρτίζον μὲν τὴν ἡμέραν πανταχοῦ ἐξαπλούμενον, ἀντεισάγον δὲ τὴν νύκτα συστελλόμενον. Καὶ τοῦτό ἐστιν, ὅ φησιν ἡ Γραφὴ «καὶ διεχώρισεν ὁ Θεὸς ἀνὰ μέσον τοῦ φωτὸς καὶ ἀνὰ μέσον τοῦ σκότους· καὶ ἐκάλεσε τὸ φῶς ἡμέραν καὶ τὸ σκότος ἐκάλεσε νύκτα». Τοῦτο οὖν τὸ φῶς, ἀσχημάτιστον ὄν, μετὰ ταῦτα τῷ τοῦ ἡλίου δίσκῳ ἐνέθηκεν. Καὶ ταῦτα μὲν περὶ τοῦ φωτός.

Τινὲς δὲ λέγουσιν, ὅτι ἅμα τῷ εἰπεῖν τὸν Θεὸν «γενηθήτω φῶς», καὶ οἱ ἄγγελοι ἐγένοντο, τινὲς δὲ ἅμα τῷ γενέσθαι τὸν οὐρανόν, ἕτεροι δὲ πρὸ τοῦ οὐρανοῦ τούτους γενέσθαι φασίν. Ἐκ πάντων οὖν τούτων μανθάνομεν, ὅτι τῇ πρώτῃ ἡμέρᾳ ἐγένοντο οἱ ἄγγελοι· οὐκ ἐμνήσθη δὲ τούτων ἡ θεία Γραφὴ κατὰ τὴν κοσμοποιΐαν, διὰ τὸ πανοῦργον τῆς διανοίας τῶν Ἰουδαίων, ἵνα μὴ λατρεύσωσι τὴν κτίσιν παρὰ τὸν κτίσαντα. Ὅμως ἐν ἑτέροις τούτων ἐμνημόνευσεν ὡς ἐχρῆν καὶ ὁ καιρὸς ἀπῄτει, ὡς ὅταν λέγῃ ἐν τῷ Δευτερονομίῳ, «καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ», καὶ ἐν τῇ Γενέσει «ἦλθον
f 234r οἱ ἄγγελοι εἰς Σόδομα», || καὶ πάλιν «καὶ Ἰακὼβ ἀπῆλθεν εἰς τὴν ἑαυτοῦ ὁδὸν καὶ ἀναβλέψας εἶδε παρεμβολὴν Θεοῦ παρεμβεβληκυῖαν καὶ ἀπήντησαν αὐτῷ οἱ ἄγγελοι τοῦ Θεοῦ». Οὐ μόνον δέ, ἀλλὰ καὶ ταξίαρχοί εἰσιν ἐν αὐτοῖς καὶ ἀρχιστράτηγοι· φησὶ γάρ τις αὐτῶν πρὸς Ἰησοῦν τὸν τοῦ Ναυῆ· «ἐγὼ ἀρχιστράτηγος δυνάμεως Κυρίου νυνὶ παραγέγονα.» Ἐν δὲ τῷ Ἰὼβ γέγραπται, «ὅτε ἐγενήθησαν ἄστρα, ᾔνεσάν με φωνῇ μεγάλῃ πάντες ἄγγελοί μου». Ἐνταῦθα τοιγαροῦν, εἰ καὶ μὴ ἀκριβῶς τὴν ἡμέραν, ἐν ᾗ ἐγενήθησαν ἐδήλωσεν, ἀλλ' οὖν πρὸ τῶν ἄστρων ἀπέφηνε. Καὶ πάλιν περὶ τοῦ διαβόλου· «τοῦτό

4) Ἐν τῇ ᾤᾳ : κατὰ Μανιχαίων, οὐσίαν τὸ σκότος δογματιζόντων. 10) Γεν. 1,4. 11) Ἐν τῇ ᾤᾳ : κατὰ Σαμαρειτῶν, τὴν τῶν ἀγγέλων ὕπαρξιν ἀποβαλλομένων. 22) Δευτ. 32,43. 23) Γεν. 19,1. 24) Ἐξ. 4,24. 28) Ἰ. Ναυῆ 5,13. 29) Ἰὼβ 38,7. 31) Ἰὼβ 40,14.

Ε.Υ.Σ. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἐστιν ἀρχὴ πλάσματος Κυρίου πεποιημένον ἐγκαταπαίζεσθαι ὑπὸ τῶν ἀγγέλων αὐτοῦ». Τὸ δὲ «ἀρχὴ πλάσματος», ἢ ἀντὶ τοῦ πρὸ πάντων τῶν ποιημάτων πλασθεὶς δεῖ νοεῖν ἢ ἀντὶ τοῦ ἄρχων καὶ ἡγούμενος τοῦ πλάσματος τοῦ Θεοῦ, ἤτοι τῶν ἀγγέλων. || Εἷς γὰρ καὶ οὗτος ὁ f 234v τάλας ποτὲ τῶν τοῦ Θεοῦ ἀγγέλων ἐτύγχανεν, ἀγαθὸς δημιουργηθεὶς ὑπ' αὐτοῦ, αὐτεξουσιότητι καὶ προαιρέσει ὡς λογικὸς τιμηθεὶς χείρονός τε καὶ κρείττονος. Τάγματος δὲ ἄρχειν λαχὼν ἐπήρθη τῇ διανοίᾳ καὶ ἀποστασίαν κατὰ τοῦ ἰδίου κτίστου καὶ δεσπότου ἐνενόησε. Διὸ καὶ ἀπερρίφθη δικαίως τῆς οὐρανίου καὶ μακαρίας διαγωγῆς μετὰ τοῦ συναποστατήσαντος αὐτῷ ἰδίου τάγματος. Καὶ τοῦτό φασί τινες αἰνίττεσθαι τὸν προφήτην Ἡσαΐαν διὰ τοῦ βασιλέως Βαβυλῶνος. Καὶ οὐδὲν θαυμαστόν· πολλὰ γὰρ παρὰ τοῖς προφήταις τροπικῶς καὶ ἀλληγορικῶς συνετέθησαν.

Οὗτος ὁ κακόσχολος καὶ μεγάλαυχος Σατάν, ὁ τῇ κακίᾳ ἀεὶ ἐγκαυχώμενος καὶ τῷ Ἀδὰμ βασκήνας διὰ τοῦ ἴσου τρόπου, οὗπερ αὐτὸς ἐκπεπτώκει τῆς ἰδίας ἀρχῆς, τοῦτον ἀποπλανήσας τοῦ παραδείσου ἐκτὸς ἔθηκεν, ὥς φησιν ὁ Σολομών. «Ὁ Θεὸς ἔκτισε τὸν ἄνθρωπον ἐπ' ἀφθαρσίᾳ καὶ εἰκόνα τῆς ἰδίας ἀϊδιότητος ἐποίησεν αὐτόν· φθόνῳ δὲ διαβόλου θάνατος εἰσῆλθεν εἰς τὸν κόσμον». Διὸ οὐδὲ παύεται ἀεὶ κατὰ τοῦ Θεοῦ καὶ τῶν δούλων αὐτοῦ || ἐπινοῶν, συνεργῶν δὲ καὶ ἀντιλαμβανόμενος ἐν τοῖς αἰσχροῖς τῶν οἰκείᾳ γνώμῃ καὶ ἐθελοντὶ συνταξαμέ- f 235r νων αὐτῷ καὶ ὑπεικόντων αὐτῷ κατὰ πάντα. Ὁ δὲ Ζαχαρίας οὕτω διέξεισι λέγων. «Καὶ ἔδειξέ μοι Κύριος τὸν Ἰησοῦν τὸν ἱερέα τὸν μέγαν ἑστῶτα πρὸ προσώπου ἀγγέλου Κυρίου· καὶ ὁ διάβολος εἱστήκει ἐκ δεξιῶν αὐτοῦ τοῦ ἀντικεῖσθαι αὐτῷ. Καὶ εἶπε Κύριος πρὸς τὸν διάβολον· ἐπιτιμῆσαι Κύριος ἐν σοὶ διάβολε ὁ ἐκλεξάμενος τὴν Ἱερουσαλήμ». Οὕτω καὶ Μιχαὴλ ὁ ἀρχάγγελος. «Ἐπιτιμῆσαί σοι Κύριος», εἶπεν ὅτε τῷ διαβόλῳ διελέγετο περὶ τοῦ σώματος Μωϋσέως. Ἐκ τούτων φανερὸν ἐστιν, ὅτι εἰ μὴ Κύριος ἦν ὁ τούτῳ ἐπιτιμῶν καὶ οἱ ἅγιοι ἄγγελοι συμπαρῆσαν ἡμῖν ἀντιλαμβανόμενοι, τάχα τὴν οἰκουμένην ἅπασαν ὡς νοσσιὰν κατέλαβεν ἄν, καὶ ὡς καταλελειμμένα ᾠὰ ἦρεν ἅπαντας, ὡς καὶ ἐνεκαυχήσατο, καὶ κρημνῷ καὶ βυθῷ παρέπεμψεν, ὡς τοὺς χοίρους ποτέ. Οὐ δύναται γὰρ καθ' ἡμῶν, ἐὰν μὴ παραχωρήσῃ ἡμῶν Κύριος αὐτῷ. Παραχωρεῖ || δὲ ὅταν τοῖς μὲν θελήμασι τοῦ Σατανᾶ ἑπόμεθα, τῶν f 235v

**3) Ἐν τῇ ᾤᾳ : δοκεῖ μοι ὅτι δι' ἀμφότερα τέθηται ἡ λέξις. 17) Σοφ. Σολ. 2,24 23) Ζαχ. 6,11 27) Ζαχ. 3,3 34) Ἐν τῇ κάτω ᾤᾳ : δῆλον τῶν κακῶν τὰ μὲν κατὰ συγχώρησιν Θεοῦ ἡμῖν ἐπάγονται πρὸς παιδείαν καὶ νουθεσίαν καὶ δοκιμήν, τὰ δὲ κατὰ παραχώρησιν πρὸς παντελῆ ἀπώλειαν καὶ ψυχικὴν βλάβην.**

ΙΩΑΝΝΙΝΑ 2006

δὲ ἐντολῶν τοῦ Κυρίου ἀμελοῦμεν καὶ ἐξ ἡμῶν αὐτῶν ἑκοντὶ τὴν σκέπην αὐτοῦ αἴρομεν. Ἀλλὰ καὶ ἐκ τῶν κατὰ τὸν δίκαιον Ἰὼβ πεπραγμένων δῆλόν ἐστιν, ὅτι οὐδὲν ἰσχύει κατὰ τῶν εὐσεβῶν ὁ τύραννος. Εἰ μὴ γὰρ κἀκεῖ συνεχώρησεν αὐτῷ ὁ Κύριος, οὐκ ἂν τῷ ἀμέμπτῳ ἐκείνῳ προσέβαλεν. Οὐχ ὡς τῷ Σατανᾷ δὲ χαριζόμενος ὁ Θεὸς τοῦτο ποιεῖ, ἀλλ' ἵνα ἡ ἀρετὴ μὲν ἐντεῦθεν τοῦ δικαίου λαμπροτέρα δειχθῇ ἐκ τῆς ὑπομονῆς, αὐτὸς δὲ ὁ προσβάλλων καταισχυνθῇ ὡς ἡττηθείς. Διὰ τοῦτο καὶ δίκην διαλόγου τὸν λόγον σχηματίζει ὁ συγγραφεύς, ἐντεῦθεν τὴν τοῦ Θεοῦ συγχώρησιν παριστῶν, ἐπείπερ τῆς θείας ὁμιλίας καὶ τοῦ χώρου τῶν ἀγγέλων πάντῃ ἠλλοτρίωται ὁ ἀποστάτης, καθ' ἃ δὴ καὶ Χριστὸς ἀποδείκνυσι λέγων. «Εἶδον τὸν Σατανᾶν ὡς ἀστραπὴν ἐκ τοῦ οὐρανοῦ πεσόντα», ἅμα καὶ τὴν προϋπάρχουσαν αὐτῷ λαμπρότητα διὰ τῆς ἀστρα-
f 236r πῆς δηλῶν καὶ τὸν μετὰ ταῦτα σκοτασμόν. Ὥσπερ γὰρ ἡ ἀστραπὴ || πνεῦμα ἐν τῷ οὐρανῷ μὲν ὂν φαίνει, ἐκπίπτον δὲ τούτου ἀφανίζεται καὶ ζοφοῦται, οὕτω καὶ οὗτος ὁ δύστηνος τῷ θείῳ φωτὶ προσπελάζων καὶ τῆς ἐκεῖθεν ἀπολαύων θείας αὐγῆς φῶς δεύτερον ἐχρημάτιζεν. Ἐκεῖθεν δὲ ἔκπτωτος γενόμενος καὶ τοῦ Θεοῦ μακρυνθείς, ζοφώδης καὶ δυσείμων μᾶλλον δὲ σκότος ἀντὶ φωτὸς ἐγένετο.[19] Ὅτι δὲ καὶ ἕτεροι σὺν αὐτῷ κατεσπάσθησαν ἄνωθεν, ἔξεστι τῷ βουλομένῳ ἐκ τῆς θείας Γραφῆς καὶ μᾶλλον τῆς Καινῆς καταμαθεῖν. Φησὶ γὰρ ὁ Ἀπόστολος Ἰούδας. «Ἀγγέλοις τε τοῖς μὴ τηρήσασι τὴν ἑαυτῶν ἀρχήν, ἀλλ' ἀπολιπόντας τὸ ἴδιον οἰκητήριον εἰς κρίσιν μεγάλης ἡμέρας δεσμοῖς ἀϊδίοις ὑπὸ ζόφον τετήρηκε». Περὶ ὧν καὶ ὁ Χριστὸς ἐδήλωσεν ἐν τῷ λέγειν, «πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ». Φησὶ δὲ καὶ Ἡσαΐας περὶ τῆς ἐρημώσεως Βαβυλῶνος: «Καὶ ἀναπαύσονται ἐκεῖ σειρῆνες καὶ δαιμόνια ἐκεῖ
f 236v ὀρχήσεται». || Ἐν γὰρ τοῖς τοιούτοις τόποις προσμένειν εἰώθασι διὰ τὸ πτοεῖν καὶ βλάπτειν τοὺς παραβάλλοντας. Ἀλλὰ περὶ μὲν τούτων ἅλις. Τὰ δὲ τῶν ἀγαθῶν ἀγγέλων τάγματα, ὥς φησιν ὁ Ἀρεοπαγίτης Διονύσιος, ἐννέα τυγχάνουσιν, ἕτοιμοι ὄντες εἰς θείαν ὑμνῳδίαν καὶ διακονίαν καὶ μηδέποτε ἀποκάμνοντες εἰς τὴν τοιαύτην λειτουργίαν, ἅτε ἀσώματοι ὄντες καὶ ἄϋλοι καὶ ἰσχυροὶ ἐν δυνάμει. «Εὐλο-

[19]) Ἐν τῇ ᾠᾳ: κατὰ Μασαλιανῶν. [12]) Λουκ. 10,18. [22]) Ἰούδ. 6.
[25]) Ματθ. 25,41. [28]) Ἡσ. 13,21. [32]) Ἐν τῇ ᾠᾳ: κατὰ Βογομίλων.
[34]) Ψαλμ. 103,20

Ε.Υ.Δήμος τ.ΙΙ ΙΩΑΝΝΙΝΑ 2006

γεῖτε, γάρ φησι, τὸν Κύριον πάντες οἱ ἄγγελοι αὐτοῦ, δυνατοὶ ἰσχύϊ ποιοῦντες τὸν λόγον αὐτοῦ, τοῦ ἀκοῦσαι τῆς φωνῆς τῶν λόγων αὐτοῦ». Ἀλλὰ καὶ τὰ τῶν ἀγγέλων οὕτως ἔχει.

Ἵνα δὲ μὴ τὸν λόγον μηκύνωμεν, ἅπαντα ἀφέντες, ὡς εὔληπτα, ἐπ' αὐτὴν τὴν τοῦ ἀνθρώπου πλάσιν μετέλθωμεν, τῇ ἕκτῃ ἡμέρᾳ γεγονυῖαν χειρὶ Θεοῦ. Ὅταν ‖ δὲ ἀκούσῃς χεῖρα Θεοῦ, θεοπρεπῶς νόει f 237r τὸ ῥῆμα. Εἰ γὰρ χειρὶ Θεοῦ λεγούσης τῆς θείας Γραφῆς πλαστουργεῖσθαι τὸν ἄνθρωπον, οὐκ ὤκνησαν οἱ αἱρετικοὶ τὴν ἅπασαν δημιουργίαν θεῖναι τῷ πονηρῷ, τί ἂν ἐγεγόνει, εἰ ἁπλῶς ταῦτα διῆλθε; Διὰ τοῦτο καὶ πῇ μὲν εἰσάγει τὸν Θεὸν ἐπιτάττοντα, πῇ δὲ διαλεγόμενον, ἵνα δείξῃ ὅτι πάντα διὰ τοῦ Λόγου αὐτοῦ καὶ τοῦ Πνεύματος ἐποίησεν. «Εἶπεν οὖν ὁ Θεός, φησί· ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν». Καὶ μετ' ὀλίγα «καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτόν». Διὰ μὲν τοῦ «ποιήσωμεν», τὴν τῶν προσώπων διαφορὰν παριστῶν, διὰ δὲ τῶν ἑξῆς ἐπαγομένων, τὸ τῆς φύσεως ἑνικόν. Διατί δὲ κατ' εἰκόνα Θεοῦ λέγεται ποιηθῆναι ὁ ἄνθρωπος καὶ τί ἐστιν εἰκών, ὕστερον ἐροῦμεν. «Καὶ ἔπλασε, φησίν, ὁ Θεὸς τὸν ἄνθρωπον χοῦν ἀπὸ τῆς γῆς». Πῶς δὲ ἔπλασεν, αὐτὸς οἶδε μόνος ὁ πλάσας. Οὐδὲ γὰρ ἐννοῆσαι τις δύναται, πῶς ἐκ χοὸς ‖ ἄνθρωπος διεπλάσθη, ὅπου γε οὐδὲ τὴν τῶν κτηνῶν ἐκ τῆς γῆς ἀνάδοσιν καὶ τῶν λοιπῶν εὐτελεστάτων. «Καὶ ἐνεφύσησεν, ἤτοι ἐνέπνευ- f 237v σεν, εἰς τὸ πρόσωπον αὐτοῦ, τουτέστι τῷ Ἀδὰμ ἐν τῷ πλάττειν δῆλον ὅτι, πνοὴν ζωῆς, ἤτουν ψυχήν· καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν», τουτέστι συνεκράθη τὸ σώματι ἡ ψυχή, καὶ ἔμψυχος γέγονεν ἡ σάρξ. Ἴδε γοῦν πῶς ἄνθρωπον καλεῖ τὴν σάρκα, ἐκ τοῦ ὅλου τὸ μέρος, ἵνα ὅταν ἀκούσῃς ὅτι Χριστὸς κατῆλθεν ἐξ οὐρανοῦ, μὴ ἐν δυσὶ ταῖς φύσεσι νομίσῃς κατεληλυθέναι, ἀλλ' ἐν τῇ θεότητι μόνῃ. Ἀλλὰ μὴ νομίσῃς ὅτι χρόνος τις ἐμεσίτευσεν ἐπὶ τῆς τοῦ ἀνθρώπου πλάσεώς τε καὶ ἐμψυχώσεως. Οὐ γὰρ ὡς ἄνθρωπος ὁ Θεὸς δημιουργεῖ, ἵνα καιροῦ δεηθῇ, ἀλλὰ βουλόμενος μόνον, εἰ καὶ ἡ Γραφή, διὰ τὸ στενὸν τῆς τῶν ἀκροατῶν διανοίας, καιρὸν ὑπονοεῖν δίδωσι. Διὰ τοῦτο γὰρ καὶ εἴρηκεν, ὅτι ἔπλασεν ὁ Θεὸς τὸν ἄνθρωπον, ὡς ἤδη ἀπαρτισθέντα. Τὸ δὲ εἰπεῖν ἐνεφύσησεν, οὐδὲν ἄλλο οἶμαι δηλοῦν ἢ ὅτι συνεργοῦν ἦν τὸ Πνεῦμα τὸ Ἅγιον καὶ ὅτι ψυχὴν αὐτῷ λογικὴν δέδωκε. Τῶν

6) ἐν τῇ ᾤᾳ: δῆλον ὅτι τὸ χειρὶ Θεοῦ ἐκ τῆς βίβλου τῶν Ψαλμῶν εἴληπται. 8) ἐν τῇ ᾤᾳ: κατὰ τῶν αὐτῶν. 12) Γεν. 1,26. 13) αὐτ. 27. 17) αὐτ. 2,7. 24) ἐν τῇ ᾤᾳ: κατὰ Μανιχαίων.

23) εἴτουν B

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

238r γὰρ λοιπῶν ‖ ζῴων ἐκ τῆς γῆς ἡ ψυχὴ τὴν ὕπαρξιν ἔχουσα, «ἐξαγαγέτω, γάρ φησιν, ἡ γῆ ψυχὴν ζῶσαν», νεκρά τίς ἐστιν καὶ ἄλογος καὶ θνητὴ καὶ πρὸς τὴν γῆν ἅπασαν τὴν ῥοπὴν καὶ τὴν σχέσιν ἔχει καὶ εἰς τὴν γῆν, ὅθεν ἐξῆλθεν, ἀναλύει σὺν τῷ σώματι. Ἡ δὲ τοῦ ἀνθρώπου, ἅτε ἐκ τῆς θείας ἐμπνεύσεως οὖσα, λογική τέ ἐστι καὶ ἀθάνατος καὶ τοῖς οὐρανίοις ἐμφιλοχωρεῖν καὶ ἐμβατεύειν πέφυκεν. Οὐ μέντοι οὐσιωδῶς ἐκ τοῦ Θεοῦ τὴν ὕπαρξιν ἔχει διὰ τοῦ ἐμφυσήματος, ἀλλὰ δημιουργικῶς. Οὐ γὰρ τὸ ἐμφύσημα ἐκεῖνο ἐγένετο ψυχή, ὥς τινες κακοτρόπως ὑπολαμβάνουσιν, ἀλλὰ ψυχὴν ἐδημιούργησεν ἐν τῷ ἀνθρώπῳ λογικὴν καὶ νοεράν. Ἐπεὶ καὶ τὸ ἐνεφύσησε, θειοτέρως δεῖ ἐκλαμβάνειν, ὡς εἴρηται. Εἰ δὲ ἐκ τῆς οὐσίας ἐστὶ τοῦ Θεοῦ ἡ ψυχή, πῶς οὐκ ἔστι πάντοτε ἀναλλοίωτος, ὥσπερ ὁ Θεός; Φησὶ γὰρ ὁ Δαυὶδ πρὸς αὐτόν· «σὺ δὲ ὁ αὐτὸς εἶ», καὶ ὁ Μαλαχίας ἐκ προσώπου αὐτοῦ, «ἐγὼ Θεὸς ὑμῶν καὶ οὐκ ἠλλοίωμαι». Εὑρεθήσεται δὲ κατ' αὐτοὺς ὁ Θεὸς καὶ παθητὸς ἐν τούτῳ καὶ αὐτὸς ἑαυτὸν κολάζων, ὡς τῆς ψυχῆς τοιαῦτα πασχούσης. Ἀλλ' ἄπαγε.

238v Φυτεύσας ‖ δὲ ὁ Θεὸς τὸν παράδεισον κατ' ἀνατολὰς ἐν Ἐδέμ, ὃ τρυφὴ ἑρμηνεύεται, ἔθετο ἐκεῖ τὸν ἄνθρωπον, ὃν ἐποίησε, καὶ τὴν ἐξ αὐτοῦ πλασθεῖσαν γυναῖκα, δοὺς αὐτοῖς ἐντολὴν μικράν, ὅσον εἰς τὸ γυμνάσαι αὐτοὺς εἰς ὑπακοὴν καὶ δειχθῆναι τὴν πρὸς τὸν δεσπότην εὐγνωμοσύνην αὐτῶν καὶ ὑποταγήν. Οὔτε γὰρ τῶν βελτίω ἐκώλυσεν αὐτοῖς τὴν ἀπόλαυσιν, οὔτε τῶν πλείω, ἀλλ' οὔτ' ἐξ ἡμισείας, ἀλλὰ μόνον ἐκ πάντων ἑνός, οὕτως εἰρηκὼς αὐτοῖς. «Ἀπὸ πάντων τῶν ξύλων τῶν ἐν τῷ παραδείσῳ φάγεσθε· ἀπὸ δὲ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρὸν οὐ φάγεσθε ἀπ' αὐτοῦ· ᾗ γὰρ ἡμέρᾳ φάγητε ἀπ' αὐτοῦ, θανάτῳ ἀποθανεῖσθε», ἤτοι θνητοὶ ἔσεσθε· οὕτω γὰρ οἱ ἄλλοι ἑρμηνευταὶ ἐξέδωκαν. Ἐκβατικῶς δὲ ἐνταῦθα τὸ καλοῦ καὶ πονηροῦ τέθεικεν· μετὰ γὰρ τὸ γεύσασθαι, ἔγνωσαν ὅτι καλὸν μὲν τὸ ὑπακούειν Θεῷ, κακὸν δὲ τὸ παρακούειν· ἢ ξύλον ζωῆς καὶ γνώσεως προσηγόρευται, ὡς τούτων πρόξενον γενησόμενον μετὰ τὴν τῆς ἐντολῆς φυλακήν. Οὐκ εὐθὺς γὰρ μετὰ τὸ πλάσαι αὐτοὺς θνητοὺς ἢ ἀθα-
239r νάτους ἀπέδειξε. Καὶ τοῦτο ἡμῖν ‖ ἐννοεῖν δίδωσι διὰ τοῦ εἰπεῖν «θανάτῳ ἀποθανεῖσθε». Εἰ γὰρ θνητοὶ ἦσαν οὐκ ἂν ἐπιτίμιον αὐτοῖς ὁ θάνατος ἐδέδοτο· εἰ δὲ ἀθάνατοι, οὐκ ἂν ἐτεθνήκεσαν. Ἀλλ' ἐν μεθορίῳ τέθεικε μεγέθους καὶ ταπεινότητος, ἤγουν δεκτικοὺς ἀμφοτέρων παρὰ μέρος διὰ τὸ τῆς φύσεως σύνθετον. Καὶ ἄλλως, θνητοὶ μὲν οὐκ ἦσαν, διὰ τὸ μὴ ὑποκεῖσθαι θανάτῳ· μετὰ τὴν παράβασιν

¹) Γεν. 1,24. ¹³) Μαλ. 3,6. ²³) Γεν. 2, 16—17.

Ε.Υ.Δ. του Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

γὰρ ὁ θάνατος. Οὐ πάντῃ δὲ ἀθάνατοι, ὅτι μετὰ ταῦτα ἀπέθανον. Οὐδὲ ἄφθαρτοι πάντῃ, ὅτι ἤσθιον ἐκ τῶν καρπῶν. Ἀπαθεῖς δὲ ὅμως ἦσαν καὶ σαρκικῆς μίξεως ἀμνήμονες, ὥσπερ καὶ νῦν ἐστιν ἰδεῖν ἐν τοῖς δι' ἀσκήσεως καὶ ἀρετῆς εἰς τελειότητα καὶ ἀπάθειαν φθάσασι. Καὶ ἁπλῶς εἰπεῖν, κρείττους μὲν ἦσαν ἡμῶν, ἐλάττους δὲ τῶν ἀγγέλων, ὡς γέγραπται «ἠλάττωσας αὐτόν, ἤτοι τὸν ἄνθρωπον, βραχύ τι παρ' ἀγγέλοις». Εἰ γὰρ ἄφθαρτος ἦν πάντῃ, οὐκ ἂν διενήνοχέ τι τῶν ἀγγέλων. Ὥσπερ οὐδὲ μετὰ τὴν κοινὴν ἀνάστασιν ἔσται τις διένεξις μεταξὺ ἡμῶν καὶ τῶν ἀγγέλων, διὰ τὸ ἀπαθανατισθῆναι καὶ ἀφθαρτισθῆναι, ὥς φησιν || ὁ Χριστός· εἰ δὲ φθαρτός, οὐκ ἂν βραχύ τι τῶν ἀγγέλων ἠλάττωται, ἀλλὰ κατὰ πολύ, ὥσπερ ἡμεῖς νῦν. Οἱ δὲ λέγοντες f 239v θνητὸν πλασθῆναι τὸν Ἀδάμ, ὥστε ἀνάγκην ἔχειν ἀποθανεῖν, πάμπαν τῆς ἀληθείας διαμαρτάνουσι. Φησὶ γὰρ ἡ Γραφή· «ἐπ' ἀφθαρσίᾳ ὁ Θεὸς τὸν ἄνθρωπον ἐποίησεν», ἤτοι εἰς τὸ γενέσθαι ἄφθαρτον τῇ τῆς ἐντολῆς φυλακῇ. Μέσον γάρ, ὡς ἔφημεν, ἀφθαρσίας καὶ θνητότητος τοὺς γενάρχας ἡμῶν τέθεικεν ὁ ποιητής, ἵνα ἐξ ἰδίας ἀρετῆς καὶ προαιρέσεως τὴν ἀθανασίαν προσλάβωσι, καθ' ἃ δὴ καὶ Γρηγόριος ὁ τῆς Θεολογίας ἐπώνυμός φησιν. «Εἰ μὲν οὖν ἐμείναμεν ὅπερ ἦμεν καὶ τὴν ἐντολὴν ἐφυλάξαμεν, ἐγενόμεθα ἂν ὅπερ οὐκ ἦμεν». Ἀλλ' οὕτω μὲν οἱ πρωτόπλαστοι τῆς ἐντολῆς τοῦ πλάστου καὶ εὐεργέτου ἀλογήσαντες, πεισθέντες δὲ τῇ συμβουλίᾳ τοῦ πλάνου καὶ δυσμενοῦς καὶ φαγόντες τοῦ ἀπηγορευμένου ξύλου τῆς θείας χάριτος καὶ ἐπικουρίας ἑαυτοὺς ἀπεγύμνωσαν. Ὅθεν καὶ εἰς ἑαυτοὺς γενόμενοι, ἔγνωσαν τὴν ἀπάτην καὶ γυμνοὺς ὁρῶντες ἑαυτοὺς ᾐσχύνοντο, πρὸ τούτου μὴ αἰσχυνόμενοι τῇ ἀπαθείᾳ ἐνδεδυμένοι. Τί οὖν φησιν ἡ Γραφή; «Καὶ διηνοίχθησαν οἱ ὀφθαλμοὶ τῶν δύο, || καὶ ἔγνωσαν ὅτι γυμνοὶ ἦσαν· f 240r καὶ ἔρραψαν φύλλα συκῆς καὶ ἐποίησαν ἑαυτοῖς περιζώματα». Πολλαχῶς δὲ ἡ τῶν ὀφθαλμῶν διάνοιξις λαμβάνεται, ἐπί τε τοῦ νοεροῦ ὀφθαλμοῦ καὶ τῆς τούτου ὀξύτητος καὶ τῆς ἐντεῦθεν διακρίσεως, ὡς τὸ «διανοιχθήσονται ὑμῶν οἱ ὀφθαλμοὶ καὶ ἔσεσθε ὡς θεοί, γινώσκοντες καλὸν καὶ πονηρόν», καὶ ἐπὶ τοῦ συνειδότος καὶ τοῦ ἐντεῦθεν ἐλέγχου ὡς ἐνταῦθα· οὐ γάρ δήπου τυφλοὶ ὄντες ἀνέβλεψαν· καὶ γὰρ προλαβὼν εἴρηκε, «καὶ εἶδεν ἡ γυνή, ὅτι καλὸν τὸ ξύλον εἰς βρῶσιν, καὶ ἀρεστὸν τοῖς ὀφθαλμοῖς ἰδεῖν, καὶ ὡραῖόν ἐστι τοῦ κατανοῆσαι», καθ' ὃν τρόπον καὶ ὁ Εὐαγγελιστὴς Λουκᾶς φησίν, «αὐτῶν δὲ διηνοίχθησαν οἱ

11) ἐν τῇ ᾤᾳ: κατὰ Κελεστίνου καὶ Πελαγίου. 25) Γεν. 3,7. 30) Γεν. 3,5
33) αὐτ. 6 35) Λουκ. 24,31.

Ε.Υ. της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ὀφθαλμοὶ καὶ ἐπέγνωσαν αὐτόν», Λαμβάνεται δὲ καὶ ἐπὶ ἐνισχύσεως, ὡς ἐν τῇ πρώτῃ τῶν Βασιλειῶν γέγραπται περὶ Ἰωνάθαν ἡνίκα τοῦ μέλιτος ἐγεύσατο. «καὶ ἐπέστρεψε τὴν χεῖρα αὐτοῦ εἰς τὸ στόμα αὐτοῦ καὶ ἀνέβλεψαν οἱ ὀφθαλμοὶ αὐτοῦ»· καὶ μετ' ὀλίγα φησὶν ὁ Ἰωνάθαν· «ἴδε ὅτι εἶδον οἱ ὀφθαλμοί μου, ὅτι ἐγευσάμην || βραχὺ τοῦ μέλιτος».

f 240v Τοῦ Θεοῦ τοίνυν ἀθετήσαντες τὴν ἐντολήν, ὡς ἔφημεν, οἱ πρωτόπλαστοι, τοῦ παραδείσου ἐκβέβληνται δικαίᾳ ψήφῳ Θεοῦ. Ἔδει γὰρ τοὺς πρῶτον τὴν ἐντολὴν δεξαμένους καὶ μὴ τηρήσαντας ταύτην οὐκ ἀτιμωρήτους παρελθεῖν, ἀλλὰ δοῦναι δίκην τοῦ πλημμελήματος, καὶ μάθουσιν ἐκ τοῦ τέλους ὅσον κακὸν τὸ παρακούειν Θεῷ, καὶ μὴ κακὸν ὑπόδειγμα τοῖς μετ' αὐτοὺς γένοιντο, ἀλλὰ σωφροσύνης μᾶλλον. Οὕτω γὰρ καὶ τῷ Κάϊν πρώτῳ φονεύσαντι τιμωρίαν ἐπήνεγκεν, ἣν οὐδενὶ τῶν μετὰ ταῦτα φονευσάντων· οὕτω καὶ τὸν ἐν Σαββάτῳ τὰ ξύλα συλλέξαι τετολμηκότα καὶ πρῶτον τὸν περὶ τούτου παραβεβηκότα νόμον ἅπας κατέλευσεν ὁ λαός, τοῦτο τοῦ Θεοῦ προστάξαντος. Τοῦτο καὶ ἄρχοντες πολλάκις τοῖς κακούργοις ἀναλόγως ἐπάγουσι, καὶ οὐκ ἀπεικότως, ἀλλ' εἰς ἀποκοπὴν τοῦ κακοῦ τοῦτο οἰόμενοι. Εἰ δὲ ἄνθρωποι τοῦτο ποιοῦντες οὐ νεμεσῶνται, πολλῷ μᾶλλον Θεός, ὁ δι' ἀγαθότητα πάντα πρὸς τὸ συμφέρον οἰκονομῶν. Τοῦτο δέ φημι διὰ τοῦ διαβόλου || τὰ γεννήματα, τοὺς αἱρετικούς, οἵτινες δυσόργητον καὶ οὐκ ἀγα-
f 241r θὸν καλοῦσι τὸν τοῦ μονογενοῦς Πατέρα καὶ νόμου κακοῦ δοτῆρα, μὴ εἰδότες καὶ ἐν τῇ εὐαγγελικῇ νομοθεσίᾳ τὸν λάγνως ὁρῶντα γύναιον μοιχείᾳ κρινόμενον, καὶ τὸν εἰκῇ ὀργιζόμενον ἔνοχον ὄντα τῇ κρίσει, καὶ τὸν ἀργολογοῦντα ὡσαύτως, καὶ τοὺς Ἰουδαίους μαχαίρας καὶ διαρπαγῆς γενομένους ἔργον διὰ τὴν εἰς Χριστοῦ παροινίαν. Ὅτι δὲ ὑπὸ τοῦ Χριστοῦ εἰς τοῦτο παρεδόθησαν, ἄκουσον αὐτοῦ ἐν παραβολαῖς λέγοντος. «Πλὴν τοὺς ἐχθρούς μου ἐκείνους, τοὺς μὴ θελήσαντάς με βασιλεῦσαι ἐπ' αὐτούς, ἀγάγετε ὧδε καὶ κατασφάξατε ἔμπροσθέν μου». Τί δήποτ' οὖν ἀγαθὸν μὲν τοῦτον, ἀπηνῆ δὲ τὸν τῆς παλαιᾶς νομοθέτην ὀνομάζουσι ; Ταῦτα γὰρ ἐκείνων κατὰ τὸν τούτων ὅρον ὠμότερα. Ἀλλὰ τῆς ἐκείνων ἀσεβείας ταῦτα τολμᾶν. Ἡμεῖς δὲ κἀκείνους καὶ τούτους τοὺς νόμους ἑνὸς ἴσμεν Θεοῦ, τὸ δὲ διάφορον ἡ τῶν νομοθετουμένων ποιότης εἰργάσατο. Πάντα τοίνυν ὁ Θεός, οἷά
f 241v τις ἰατρὸς ἄριστος καὶ || σοφός, ἁρμοδίως οἰκονομεῖ, καὶ ποτὲ μὲν τῷ αὐστηρῷ ἡμᾶς πιέζει τῶν δεινῶν, ὥστε εἰς συναίσθησιν τῶν πεπρα-

[3]) Α' Βασ. 14,27 [5]) αὐτ. 29 ἐν τῇ κάτω ᾦα : ἴδε διότι ἐγευσάμην βραχὺ τοῦ μέλιτος τούτου εἶδον οἱ ὀφθαλμοί μου [6]) ἐν τῇ ᾦᾳ : κατὰ Μανιχαίων. [27]) Λουκ. 19,27.

Ε.Υ. Ζήσης Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

γμένων ἡμῖν ἐλθεῖν, ἐν καιρῷ δὲ αὖθις τῷ προσήκοντι ἡμῶν ἀντιλαμβάνεται διὰ τοῦ μονογενοῦς αὐτοῦ Υἱοῦ.

'Ἀλλὰ δεῖ καὶ περὶ εἰκόνος φιλοσοφῆσαι μικρόν, ὡς ὑπεσχόμεθα, καὶ οὕτω τὰ τοῦ λόγου ἱστία χαλάσαντες βραχὺ διαναπαυσόμεθα. Εἰκὼν κατὰ τὸ δόγμα τοίνυν τῆς Ἐκκλησίας ἐστὶν ὁμοίωμα ἀρχετύπου, ὅλον ἐν ἑαυτῇ τοῦ ἐντυπουμένου τὸ εἶδος διὰ τῆς ἐμφερείας ἐναποματτομένης, τῷ διαφόρῳ τῆς οὐσίας κατὰ τὴν ὕλην μόνον παραλλάττουσα ἢ μίμησις ἀρχετύπου καὶ ἀπείκασμα ἢ τέχνης ἀποτέλεσμα κατὰ μίμησιν τοῦ ἀρχετύπου εἰδοποιούμενον τῇ οὐσίᾳ διαφέρεται. Διὰ τοῦτο καὶ Ἀδὰμ κατ' εἰκόνα Θεοῦ λέγεται πλαστουργεῖσθαι διὰ τὸ ἐοικέναι Θεῷ κατά τε τὸ λογικὸν καὶ ἀρχικὸν καὶ αὐτεξούσιον καὶ δημιουργικόν. Εἰ δέ τις προβάλλοιτο, πῶς τοὺς ἀγγέλους οὐ λέγομεν || f 242r κατ' εἰκόνα Θεοῦ, καίτοι λογικοὺς ὄντας καὶ νοεροὺς καὶ κατὰ τοῦτο ἐοικότας Θεῷ, ἴσως ὅτι ἐπειδὴ ἡ θεία Γραφὴ τὴν δημιουργίαν αὐτῶν σαφῶς οὐκ ἐδήλωσε, διὰ τοῦτο ἴσως οὐδὲ κατ' εἰκόνα Θεοῦ γεγενῆσθαί φησι. Διὸ ὅπερ ἡ Γραφὴ ἀπεσιώπησεν καὶ ἡμεῖς εἰκότως οὐχ ὁμολογοῦμεν. Ἀλλὰ τί ἔχοιεν ἂν ἐνταῦθα οἱ θεομάχοι εἰπεῖν, οὐ φῂς εἶναι σεβασμίαν καὶ ἁγίαν τὴν τοῦ Χριστοῦ εἰκόνα, ὡς τούτου ἐκτύπωμα καὶ ἐκμαγεῖον ἀπαράλλακτον; Ἄκουσον τοῦ Χριστοῦ λέγοντος περὶ τῆς εἰκόνος, «ἀπόδοτε τὰ Καίσαρος Καίσαρι καὶ τὰ τοῦ Θεοῦ τῷ Θεῷ». Εἰ οὖν εἰς τιμήν καὶ ἀκριβῆ δήλωσιν τοῦ Καίσαρος ἡ τούτου εἰκὼν τετύπωται, τί μὴ καὶ περὶ τοῦ Χριστοῦ τοῦτο ἀναλόγως φρονεῖς; Εἰ κτηνῶν προτομαὶ καὶ ἱστορίαι φυτῶν παρ' ὑμῶν γράφονται εἰς ὑπόμνησιν καὶ τέρψιν ὑμετέραν, οὐ πολλῷ μᾶλλον ἡ τοῦ Χριστοῦ εἰκὼν καὶ τὰ κατ' αὐτὸν τελεσθέντα ἔδει γράφεσθαι, ὡς ἀνάγοντα τὴν διάνοιαν ἐπὶ τὸ πρωτότυπον; Ἀλλ' ὢ τῆς ἀνοίας καὶ δεινῆς || f 242v πωρώσεως! Οὐκ ἀκούεις τοῦ προφήτου περὶ Ἀδὰμ λέγοντος, ὅτι «ἐγέννησεν υἱὸν κατὰ τὴν ἰδέαν καὶ εἰκόνα αὐτοῦ»; Οὐκ ἔστι λοιπὸν ἄνθρωπον χωρὶς εἰκόνος ἐπινοηθῆναι, ὡς καὶ ἐν τῇ Ἐξόδῳ γέγραπται. «Ἐὰν δὲ μάχωνται δύο ἄνδρες καὶ πατάξωσι γυναῖκα ἐν γαστρὶ ἔχουσαν καὶ ἐξέλθῃ τὸ παιδίον αὐτῆς μὴ ἐξεικονισμένον, ἐπιζήμιον ζημιωθήσεται καθότι ἂν ἐπιβάλῃ ὁ ἀνὴρ τῆς γυναικός, δώσει μετὰ ἀξιώματος· ἐὰν δὲ ἐξεικονισμένον ᾖ, δώσει ψυχὴν ἀντὶ ψυχῆς». Ἴδε οὖν ὁ τὴν τοῦ Χριστοῦ εἰκόνα ἀναιρῶν, ὅτι τὸν Χριστὸν αὐτῇ συναναιρεῖς, τὸν οὗ ἐστιν ἡ εἰκών· τῶν γὰρ πρός τι λεγομένων ἐστὶν ἡ εἰκών. Καὶ οὐχ

[5]) ἐν τῇ ᾤᾳ: περὶ εἰκόνος. [17]) ἐν τῷ ᾤᾳ: κατὰ Ἰουδαίων καὶ Ἀγαρηνῶν καὶ Βογομίλων [21]) Ματθ. 22,21 [27]) Γεν. 5,3 [29]) Ἐξ. 21,22

[28]) εἰδέαν B

Ε.Υ.Δ. ... Κ.τ.λ. ΙΩΑΝΝΙΝΑ 2006